**0345-0407 - Iohannes Chrysostomus - In martyres Aegyptios**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 056 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In martyres Aegyptios

[00001] ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΜΑΡΤΥΡΑΣ ΑΙΓΥΠΤΙΟΥΣ.

50.693

[00002] αʹ.

[00003] Εὐλογητὸς ὁ Θεὸς, ὅτι καὶ ἐξ Αἰγύπτου μάρτυρες, Αἰγύπτου τῆς θεομάχου καὶ μανικωτάτης, καὶ ὅθεν τὰ ἄθεα στόματα, ὅθεν αἱ βλάσφημοι γλῶσσαι, ἐξ Αἰγύπτου μάρτυρες, οὐκ ἐν Αἰγύπτῳ δὲ μόνον, οὐδὲ ἐν τῇ παροίκῳ καὶ γείτονι χώρᾳ, ἀλλὰ καὶ πανταχοῦ τῆς οἰκουμένης.

[00004] Καὶ καθάπερ ἐπὶ τῆς τῶν ὠνίων εὐετηρίας, ὅταν ἴδωσιν οἱ τὰς πόλεις οἰκοῦντες πλείω τῆς χρείας τῶν οἰκούντων γενομένην τὴν φορὰν, καὶ πρὸς τὰς ἔξω διαπέμπουσι πόλεις, ὁμοῦ τε τὴν παρ' ἑαυτῶν ἐπιδεικνύμενοι φιλοφροσύνην, καὶ πρὸς τῇ τούτων περιουσίᾳ μετ' εὐκολίας ὧν ἂν δέωνται πάλιν ἀντωνούμενοι παρ' ἐκείνων·

[00005] οὕτω καὶ οἱ Αἰγύπτιοι πεποιήκασιν ἐπὶ τῶν τῆς εὐσεβείας ἀθλητῶν.

[00006] Ἰδόντες τῇ τοῦ Θεοῦ χάριτι πολλὴν παρ' ἑαυτοῖς γενομένην τὴν φορὰν, οὐ κατέκλεισαν ἐν τῇ πόλει τὸ μέγα τοῦτο τοῦ Θεοῦ δῶρον·

[00007] ἀλλὰ πανταχοῦ τῆς γῆς ἐξέπεμψαν τοὺς τῶν ἀγαθῶν θησαυροὺς, τήν τε αὐτῶν φιλαδελφίαν ἐπιδεικνύμενοι, καὶ τὸν κοινὸν πάντων Δεσπότην δοξάζοντες, καὶ τὴν αὑτῶν παρὰ πᾶσι κοσμοῦντες πόλιν, καὶ μητρόπολιν τῆς οἰκουμένης ἁπάσης ἀποφαίνοντες.

[00008] Εἰ γὰρ ψυχραὶ καὶ εὐτελεῖς ἀφορμαὶ, καὶ πρὸς τὸν παρόντα βίον ἡμῖν συντελοῦσαι χάριτες μόνον, ἴσχυσαν τοῦτο τὸ γέρας πολλαῖς τῶν πόλεων παρασχεῖν·

[00009] τὴν οὐδὲν τούτων τῶν ἐπικήρων καὶ φθαρτῶν [50.694] χαριζομένην, ἀλλ' ἄνδρας πολλὴν ταῖς κληρωθείσαις αὐτοῖς πόλεσι καὶ μετὰ τελευτὴν κεκτημένους ἀσφάλειαν, πῶς οὐ δίκαιον μάλιστα πασῶν ταύτης παρ' αὐτῶν τῆς προεδρίας τυχεῖν;

[00010] Τὰ γὰρ τῶν ἁγίων σώματα τούτων τείχους παντὸς ἀδάμαντος καὶ ἀῤῥαγοῦς ἀσφαλέστερον ἡμῖν τειχίζει τὴν πόλιν·

[00011] καὶ καθάπερ σκόπελοί τινες ὑψηλοὶ προβεβλημένοι πανταχόθεν, οὐχὶ τὰς τῶν αἰσθητῶν τούτων καὶ ὁρωμένων ἐχθρῶν προσβολὰς ἀποκρούονται μόνον, ἀλλὰ καὶ τὰς τῶν ἀοράτων δαιμόνων ἐπιβουλὰς, καὶ πᾶσαν τοῦ διαβόλου μεθοδείαν ἀνατρέπουσί τε καὶ διαλύουσιν οὕτως εὐκόλως, ὡς εἴ τις γενναῖος ἀνὴρ παίδων ἀθύρματα ἀνατρέψειε καὶ καταβάλοι.

[00012] Καὶ τὰ μὲν ἄλλα τὰ παρὰ τῶν ἀνθρώπων γινόμενα μηχανήματα, οἷον τείχη, καὶ τάφροι, καὶ ὅπλα, καὶ στρατιωτῶν πλήθη, καὶ ὅσα πρὸς ἀσφάλειαν τῶν οἰκούντων ἐπινενόηται, δυνατὸν τοῖς ἐχθροῖς ἀποκρούεσθαι ἑτέραις πλείοσι καὶ μείζοσι μηχανῶν ὑπερβολαῖς ταῖς παρ' αὐτῶν·

[00013] ὅταν δὲ ἁγίων σώμασι πόλις τειχίζηται, κἂν μυρία ἐκεῖνοι δαπανῶσι χρήματα, τοιοῦτόν τι ἀντιστῆσαι μηχάνημα ταῖς ἐχούσαις αὐτοὺς πόλεσιν οὐ δυνήσονται.

[00014] Οὐ πρὸς ἀνθρώπων δὲ ἐπιβουλὰς μόνον, οὐδὲ πρὸς κακουργίας δαιμόνων τοῦτο ἡμῖν χρήσιμον τὸ κτῆμα, ἀγαπητέ·

[00015] ἀλλὰ κἂν ὁ κοινὸς ἡμῖν ὀργίζηται Δεσπότης διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων, δυνησόμεθα ταῦτα

[00016] [50.695] προβαλλόμενοι τὰ σώματα, ταχέως αὐτὸν ἵλεων ποιῆσαι τῇ πόλει.

[00017] Εἰ γὰρ οἱ τὰ μεγάλα κατωρθωκότες ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων, ὀνόματα προβαλλόμενοι ἁγίων ἀνδρῶν, καὶ ἐπὶ τὴν προσηγορίαν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καταφεύγοντες, ἔτυχόν τινος παραμυθίας, καὶ μεγάλην ἀπὸ τῆς μνήμης τῶν ὀνομάτων τούτων ἐκαρποῦντο τὴν ὠφέλειαν, πολλῷ μᾶλλον ἡμεῖς, ὅταν μὴ ὀνόματα μόνον προβαλλόμενοι, ἀλλὰ καὶ αὐτὰ τὰ ἀθλήσαντα σώματα, δυνησόμεθα τὸν Θεὸν ἵλεων ἔχειν καὶ ἥμερον καὶ προσηνῆ.

[00018] Καὶ ὅτι οὐ κόμπος τὰ παρ' ἡμῶν λεγόμενα, ἴσασι πολλοὶ καὶ τῶν ἐγχωρίων, καὶ τῶν ἑτέρωθεν ἐληλυθότων, ὅση τῶν ἁγίων τούτων ἡ δύναμις, οἳ καὶ μαρτυροῦσι τοῖς λεγομένοις, διὰ τῆς πείρας αὐτῆς μαθόντες αὐτῶν τὴν πρὸς τὸν Θεὸν παῤῥησίαν·

[00019] καὶ μάλα εἰκότως.

[00020] Οὐ γὰρ ὡς ἔτυχεν ὑπὲρ τῆς ἀληθείας ἠγωνίσαντο, ἀλλ' οὕτω καρτερῶς καὶ εὐτόνως ἐνέστησαν πρὸς τὴν ῥαγδαίαν καὶ ἀφόρητον τοῦ διαβόλου βίαν, ὡς ἐν λιθίνοις καὶ σιδηροῖς, ἀλλ' οὐκ ἐν φθαρτοῖς καὶ θνητοῖς ἀγωνιζόμενοι σώμασιν, ὡς ἤδη πρὸς τὴν ἀπαθῆ καὶ ἀθάνατον μεταστάντες φύσιν, τὴν οὐκ εἴκουσαν ταῖς πικραῖς καὶ ὀδυνηραῖς τοῦ σώματος ἀνάγκαις.

[00021] Καθάπερ γάρ τινες ἄγριοι θῆρες καὶ ὠμοὶ καὶ ἀνήμεροι τὰ σώματα κυκλώσαντες πανταχόθεν οἱ δήμιοι διώρυττον τὰς πλευρὰς, κατέξαινον τὰς σάρκας, ἐξεκάλυπτον ὀστᾶ καὶ παρεγύμνουν, καὶ οὐδὲν αὐτοὺς τῆς ὠμότητος ἵστησι καὶ τῆς ἀπανθρωπίας ἐκείνης·

[00022] ἀλλὰ καὶ νώτων ἁψάμενοι καὶ σπλάγχνων, καὶ εἰς τὰ ἐνδότατα εἰσελθόντες, τὸν ἐναποκείμενον αὐτοῖς τῆς πίστεως οὐχ εὗρον συλῆσαι θησαυρὸν, ἀλλὰ ταυτὸν ἔπαθον, οἷον εἴ τινες πόλιν βασιλικωτάτην, καὶ πολλοῦ γέμουσαν πλούτου, καὶ ἱκανοὺς ἔχουσαν θησαυροὺς πολιορκοῦντες, καὶ καθελόντες αὐτῆς τὰ τείχη, καὶ πρὸς αὐτὰ τὰ ταμιεῖα τῶν χρημάτων ἐλθόντες, ἀνατρέψαιεν θύρας, καθέλοιεν μοχλοὺς, ἀνορύξαιεν ἔδαφος, πάντα διερευνησάμενοι, μὴ δυνηθεῖεν τὸν πλοῦτον αὐτῆς ἀφαρπάσαντες ἀπελθεῖν.

[00023] Τοιαῦτα γάρ ἐστι τῆς ψυχῆς τὰ κτήματα·

[00024] οὐ προδίδοται τοῖς τοῦ σώματος πάθεσιν, ὅταν αὐτὰ κατέχῃ μετὰ ἀσφαλείας, ἀλλὰ κἂν αὐτά τις ἀναῤῥήξῃ τὰ στέρνα, καὶ κατὰ μικρὸν τὴν καρδίαν διέλοι λαβὼν, οὐ προήσεται τὸν ἅπαξ αὐτῇ παρὰ τῆς πίστεως ἐμπιστευθέντα θησαυρόν.

[00025] Τοῦτο δὲ τῆς τοῦ Θεοῦ χάριτος γέγονε τῆς πάντα οἰκονομούσης, καὶ ἐν ἀσθενοῦσι σώμασι δυναμένης παράδοξα ἐπιτελεῖν.

[00026] Καὶ τὸ δὴ θαυμαστότερον·

[00027] οὐ γὰρ μόνον οὐδὲν ὑφείλοντο τοσαῦτα μανέντες τῶν ἐναποκειμένων αὐτοῖς θησαυρῶν, ἀλλὰ καὶ μετὰ πλείονος αὐτοὺς τῆς ἀσφαλείας φυλάττεσθαι ἐποίησαν, λαμπροτέρους τε αὐτοὺς καὶ εὐπορωτέρους εἰργάσαντο.

[00028] Οὐκ ἔτι γὰρ ἡ ψυχὴ μόνη, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα πλείονος μετέλαβε τῆς χάριτος, καὶ οὐ μόνον οὐκ ἀπέβαλεν, ἣν εἶχε, μετὰ τὸ διατμηθῆναι καὶ κατακοπῆναι πολλάκις, ἀλλὰ καὶ ἐπεσπάσατο πλείονα καὶ μείζω τὴν ῥοπήν.

[00029] Τί ταύτης γένοιτ' ἂν τῆς νίκης θαυμαστότερον, ὅτι οὓς κατεῖχον καὶ εἶχον ὑποχειρίους, καὶ δήσαντες ἔξαινον μετὰ ἐξουσίας, τούτους νικῆσαι οὐκ ἴσχυσαν, ἀλλ' ὑπὸ τούτων ἡττῶντο ἐλεεινῶς καὶ ἀθλίως;

[00030] Οὐ γὰρ πρὸς αὐτοὺς ἐπολέμουν, ἀλλὰ πρὸς τὸν ἔνοικον αὐτῶν Θεόν·

[00031] τὸν δὲ Θεῷ πολεμοῦντα ὅτι πᾶσα ἀνάγκη μετὰ πολλῆς ἡττᾶσθαι τῆς περιουσίας, δίκην διδόντα τῆς ἐπιχειρήσεως μόνης, παντί που δῆλόν ἐστι.

[00032] [50.696] β'.

[00033] Τοιαῦται τῶν ἁγίων αἱ νῖκαι.

[00034] Εἰ δὲ τὰ ἀγωνίσματα καὶ τὰ παλαίσματα οὕτω θαυμαστὰ καὶ παράδοξα, τί ἂν εἴποιμεν περὶ τῶν ἐπάθλων καὶ στεφάνων τῶν ὑπὲρ τῆς αὐτῶν καρτερίας ἀποκειμένων αὐτοῖς;

[00035] Οὐ γὰρ δὴ μέχρι τῶν βασάνων τούτων ἔστησαν, οὐδὲ ἐνταῦθα τὸν δρόμον κατέλυσαν, ἀλλὰ περαιτέρω τὰ σκάμματα αὐτοῖς ἐξετείνετο, τοῦ μὲν πονηροῦ δαίμονος τῇ προσθήκῃ τῶν τιμωριῶν προσδοκοῦντος ὑποσκελίζειν τοὺς ἀθλητὰς, τοῦ δὲ φιλανθρώπου Θεοῦ συγχωροῦντος καὶ οὐ κωλύοντος·

[00036] ὥστε καὶ τὴν τῶν ἀπίστων μανίαν σαφεστέραν πᾶσιν ἐπιδειχθῆναι, καὶ τούτοις λαμπροτέρους καὶ

πλείους πλακῆναι τοὺς στεφάνους.

[00037] Καὶ καθάπερ ἐπὶ τοῦ Ἰὼβ γέγονεν καὶ τοῦ διαβόλου·

[00038] ὁ μὲν πλείους ᾔτει κατ' αὐτοῦ παρὰ τοῦ Θεοῦ τιμωρίας, προσδοκῶν περιέσεσθαι τῇ προσθήκῃ τῶν δεινῶν τοῦ γενναίου τῆς εὐσεβείας ἀθλητοῦ·

[00039] ὁ δὲ συνεχώρει, καὶ ἐχαρίζετο ταῖς πονηραῖς αἰτήσεσι τοῦ πονηροῦ δαίμονος, ἐπιφανέστερον τὸν αὐτοῦ ποιῶν ἀθλητήν·

[00040] οὕτω δὴ καὶ ἐνταῦθα ἐγένετο.

[00041] Ἐπειδὴ γὰρ θηρίου παντὸς χαλεπώτερον τὸ σῶμα αὐτῶν πανταχόθεν διεμασήσατο, καὶ τὴν γλῶτταν καὶ τὸ στόμα ᾕμαξεν, εἰ καὶ μὴ τοῖς αἵμασι τῶν ἁγίων, ἀλλὰ ταῖς ἀπανθρώποις καὶ ὠμαῖς ψήφοις ἐκείναις, ἡττηθεὶς ὑπὸ τῆς καρτερίας αὐτῶν, καὶ ἐμφορηθεὶς ἱκανῶς τῆς ἀπανθρώπου θοίνης ἐκείνης, καὶ κόρον λαβὼν ἀπῆλθεν.

[00042] Ὅρα γὰρ πόση τῶν ἁγίων ἡ ὑπομονὴ, ἣ τοσαύτην μανίαν τοῖς οἰκείοις ἐκόρεσε πάθεσιν.

[00043] Ἐπῄει πάλιν ἐπαγωνιζόμενος τῇ μανίᾳ, καὶ πάντα τὰ θηρία δι' ἄλλης ὠμότητος ἐκνικῆσαι φιλονεικῶν.

[00044] Ἐκεῖνα γὰρ ἀνάγκῃ φύσεως πρὸς τὴν θοίνην ἔρχεται ταύτην, καὶ κορεσθέντα ἄπεισι, κἂν μυρία ἴδῃ σώματα, οὐδενὸς ἐκείνων ἐφάπτεται·

[00045] οὗτος δὲ καὶ πονηρίᾳ προαιρέσεως ἐπὶ τὴν βορὰν ᾔει ταύτην, καὶ τῶν σαρκῶν αὐτῶν ἐμπλησθεὶς, ἑτέραν πλέκει κατ' αὐτῶν μηχανὴν, μακροτάτῳ καὶ χαλεπωτάτῳ θανάτῳ τοὺς ἁγίους παραδούς·

[00046] προσέταξε γὰρ ἐν τοῖς μετάλλοις αὐτοὺς ἐργάζεσθαι διηνεκῶς.

[00047] Ὢ τῆς ἀπονοίας! πεῖραν οὕτω σαφῆ λαβὼν τῆς ἀνδρείας αὐτῶν, καὶ τῆς ὑπομονῆς, ταύτῃ προσεδόκησε περιέσεσθαι.

[00048] Καὶ δὴ θηρίοις συνῴκουν οἱ ἅγιοι, οἱ τῶν ἀγγέλων σύνοικοι, καὶ τῶν οὐρανῶν πολῖται, καὶ εἰς τὴν ἄνω λοιπὸν γραφέντες Ἱερουσαλὴμ, καὶ ἦν πάσης πόλεως λοιπὸν ἡ ἔρημος ἁγιωτέρα.

[00049] Ἐν μὲν γὰρ ταῖς πόλεσι τὰ παράνομα ταῦτα καὶ τυραννικὰ ἐτολμᾶτο καθ' ἑκάστην ἡμέραν ἐπιτάγματα·

[00050] ἡ δὲ ἔρημος ἀτέλειαν εἶχε τῆς ἀπανθρώπου λειτουργίας·

[00051] καὶ τὰ μὲν δικαστήρια ἀνοσίας πράξεως ἔγεμε καὶ ἀθέσμων ἐπιταγμάτων·

[00052] αἱ δὲ ἐρημίαι τοὺς πάντων ἀνθρώπων εὐνομωτέρους εἶχον πολίτας, τοὺς ἐξ ἀνθρώπων ἀγγέλους γεγενημένους, καὶ πρὸς τὸν οὐρανὸν ἡ ἔρημος ἡμιλλᾶτο, τό γε ἐκ τῆς ἀρετῆς τῶν οἰκούντων πολιτῶν.

[00053] Καὶ φύσει μὲν ἦν ἡ τιμωρία χαλεπωτάτη, τῇ δὲ προθυμίᾳ τῶν ἀγωνιζομένων ἐγένετο ῥᾳδία καὶ κούφη καὶ εὔπορος.

[00054] Πολλαπλάσιον τότε ἐνόμιζον ὁρᾷν τὸ φῶς, καὶ τὸ εἰρημένον παρὰ τῷ προφήτῃ, ὅτι Ἡ σελήνη ἔσται ὡς ὁ ἥλιος, ὁ δὲ ἥλιος ἑπταπλασίων, τοῦτο ἀπειληφέναι τὸ φῶς ἤδη ἐνόμιζον.

[00055] Οὐ γὰρ ἔστιν, οὐκ ἔστι ψυχῆς εὐθυμότερον καταξιουμένης ὑπὲρ Χριστοῦ παθεῖν τι τῶν [50.697] δεινῶν καὶ ἀφορήτων εἶναι δοκούντων ἡμῖν.

[00056] Ἤδη πρὸς τὸν οὐρανὸν μεθεστάναι καὶ μετ' ἀγγέλων χορεύειν ἐνόμιζον.

[00057] Τί γὰρ μᾶλλον αὐτοῖς οὐρανοῦ καὶ ἀγγέλων ἔδει, τοῦ τῶν ἀγγέλων Δεσπότου μετ' αὐτῶν ὄντος Ἰησοῦ ἐπὶ τῆς ἐρήμου;

[00058] Εἰ γὰρ, ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ αὐτοῦ ὄνομα, ἐκεῖ ἐστιν ἐν μέσῳ αὐτῶν, πολλῷ μᾶλλον ἐν μέσῳ ἐκείνων ἦν τότε συνειλεγμένων, οὐχ ὡς εἰς τὸ ὄνομα, ἀλλ' ὑπὲρ τοῦ ὀνόματος κολαζομένων διηνεκῶς.

[00059] Ἴστε γὰρ, ἴστε σαφῶς, ὅτι τῆς τιμωρίας ταύτης οὐκ ἔστιν ἑτέρα χαλεπωτέρα, καὶ ὅτι μυρίους θανάτους ἄλλους ἂν εἵλοντο ὑπομεῖναι οἱ ταύτῃ τῇ ψήφῳ καταδικαζόμενοι, ἢ τῆς ὀδύνης ἀνέχεσθαι τῆς ἐκεῖθεν γενομένης.

[00060] Παρεδόθησαν μετάλλοις, ἔνθα χαλκὸν ἀνορύττειν ἔδει, πολλάκις αὐτοὶ μετάλλου χρυσίου ὄντες τιμιώτεροι καὶ ἀΰλου χρυσίου, οὐ καταδίκων ἀνορυττομένου χερσὶν, ἀλλὰ πιστῶν ἀνδρῶν προθυμίᾳ εὑρεθέντος·

[00061] εἰργάζοντο μέταλλα οἱ μυρίων γέμοντες θησαυρῶν.

[00062] Τί τῆς ζωῆς ἐκείνης πικρότερον καὶ ὀδυνηρότερον;

[00063] Ἑώρων καὶ εἰς ἑαυτοὺς ἐκβαίνοντα τὰ περὶ τῶν μεγάλων ἐκείνων ἀνδρῶν διηγήματα, ἃ περὶ τῶν ἁγίων διέξεισι λέγων ὁ Παῦλος·

[00064] Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος [ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

[00065] Ταῦτα καὶ ἐπὶ τῆς γενεᾶς ἐγένετο τῆς ἡμετέρας].

[00066] Ταῦτ' οὖν εἰδότες καὶ ἡμεῖς, ἀγαπητοὶ, ὅτι καὶ νῦν καὶ πάλαι, ἐξ οὗ γεγόνασιν ἄνθρωποι, ἅπαντες οἱ τῷ Θεῷ φίλοι τῷ στυγνῷ καὶ ἐπιμόχθῳ καὶ μυ [50.698] ρίων γέμοντι δεινῶν ἐκληρώθησαν βίῳ, μὴ τὸν ὑγρὸν καὶ διαλελυμένον καὶ τὸν ἀνέσεως γέμοντα διώκωμεν βίον, ἀλλὰ τὸν ἐπίμοχθον, τὸν ἐπίπονον, τὸν θλίψεις ἔχοντα καὶ ταλαιπωρίας.

[00067] Ὥσπερ γὰρ οὐκ ἔστι τὸν ἀγωνιζόμενον δι' ὕπνου καὶ ῥᾳθυμίας καὶ τρυφῆς τῶν στεφάνων ἐπιτυχεῖν, οὐδὲ τὸν στρατιώτην τῶν τροπαίων, οὐδὲ τὸν κυβερνήτην τοῦ λιμένος, οὐδὲ τὸν γηπόνον τῆς ἅλω πεπληρωμένης·

[00068] οὕτως οὐδὲ τὸν πιστὸν διὰ ῥᾳθυμίας τὸν ἑαυτοῦ βίον διαγαγόντα τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν.

[00069] Πῶς οὖν οὐκ ἄτοπον ἐν μὲν τοῖς βιωτικοῖς ἅπασι τοὺς πόνους προκεῖσθαι πρὸ τῆς ἡδονῆς, καὶ τοὺς κινδύνους πρὸς τῆς ἀσφαλείας, καὶ ταῦτα εὐτελοῦς καὶ μικρᾶς τῆς ἀπὸ τῶν πόνων ἐκείνων προσδοκίας μενούσης·

[00070] ὅταν δὲ οὐρανὸς προκείμενος ᾖ, καὶ ἀγγέλων τιμαὶ, καὶ ζωὴ πέρας οὐκ ἔχουσα, καὶ ἡ μετ' ἀγγέλων διατριβὴ, καὶ τὰ ἀγαθὰ, ἃ μηδὲ ἐννοῆσαι ἢ εἰπεῖν δυνατὸν, προσδοκᾷν διὰ ῥᾳθυμίας καὶ ῥᾳστώνης καὶ διαλελυμένης ψυχῆς αὐτῶν ἐπιτεύξεσθαι, καὶ μὴ τῆς αὐτῆς αὐτὰ τοῖς βιωτικοῖς σπουδῆς ἀξιοῦν;

[00071] Μὴ, παρακαλῶ, μὴ οὕτω κακῶς περὶ ἑαυτῶν καὶ τῆς ἑαυτῶν βουλευώμεθα σωτηρίας, ἀλλ' εἰς τοὺς ἁγίους τούτους ὁρῶντες, τοὺς γενναίους καὶ καρτερικοὺς ἀθλητὰς, τοὺς ἀντὶ φωστήρων δεδομένους ἡμῖν, πρὸς τὴν τούτων καρτερίαν καὶ τὴν ὑπομονὴν τὸν ἑαυτῶν διευθύνωμεν βίον, ἵνα ταῖς εὐχαῖς αὐτῶν δυνηθῶμεν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἰδεῖν τε αὐτοὺς καὶ ἀσπάσασθαι, καὶ πρὸς τὰς οὐρανίους αὐτῶν καταταχθῆναι σκηνάς·

[00072] ὧν γένοιτο πάντας ἡμᾶς τυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00073] Ἀμήν.

[00074] ἀὰ

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In martyres Aegyptios**

**Litterarum Omnium Conspectus: 124 Litterae, quae repetitae sunt in 9,206 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 742 | Α | 0913 | 8 |
| β | 0946 | 41 | Β | 0914 | 0 |
| γ | 0947 | 137 | Γ | 0915 | 2 |
| δ | 0948 | 142 | Δ | 0916 | 0 |
| ε | 0949 | 435 | Ε | 0917 | 7 |
| ζ | 0950 | 22 | Ζ | 0918 | 0 |
| η | 0951 | 145 | Η | 0919 | 0 |
| θ | 0952 | 131 | Θ | 0920 | 11 |

| | | | | | |
|---|---|---|---|---|---|
| ι | 0953 | 354 | Ι | 0921 | 4 |
| κ | 0954 | 311 | Κ | 0922 | 10 |
| λ | 0955 | 269 | Λ | 0923 | 0 |
| μ | 0956 | 273 | Μ | 0924 | 3 |
| ν | 0957 | 830 | Ν | 0925 | 1 |
| ξ | 0958 | 26 | Ξ | 0926 | 0 |
| ο | 0959 | 618 | Ο | 0927 | 8 |
| π | 0960 | 314 | Π | 0928 | 8 |
| ϱ | 0961 | 330 | Ρ | 0929 | 2 |
| ς | 0962 | 398 | • | 0930 | 0 |
| σ | 0963 | 251 | Σ | 0931 | 3 |
| τ | 0964 | 770 | Τ | 0932 | 11 |
| υ | 0965 | 156 | ϒ | 0933 | 3 |
| ϕ | 0966 | 52 | Φ | 0934 | 0 |
| χ | 0967 | 83 | Χ | 0935 | 2 |
| ψ | 0968 | 13 | Ψ | 0936 | 0 |
| ω | 0969 | 153 | Ω | 0937 | 1 |
| ῤ | 8164 | 3 | | | 0 |
| ῥ | 8165 | 10 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 91 | έ | 8051 | 107 | ή | 8053 | 34 | ί | 8055 | 155 | ό | 8057 | 102 | ύ | 8059 | 63 | ώ | 8061 | 33 |
| ὰ | 8048 | 100 | ὲ | 8050 | 36 | ὴ | 80852 | 45 | ὶ | 8054 | 174 | ὸ | 8056 | 86 | ὺ | 8058 | 25 | ὼ | 8060 | 5 |
| ᾶ | 8118 | 14 | | | 0 | ῆ | 8134 | 82 | ῖ | 8150 | 72 | | | 0 | ῦ | 8166 | 72 | ῶ | 8182 | 113 |
| ἀ | 7936 | 112 | ἐ | 7952 | 104 | ἠ | 7968 | 1 | ἰ | 7984 | 39 | ὀ | 8000 | 10 | ὐ | 8016 | 103 | ὠ | 8032 | 6 |
| ἁ | 7937 | 15 | ἑ | 7953 | 13 | ἡ | 7969 | 27 | ἱ | 7985 | 14 | ὁ | 8001 | 12 | ὑ | 8017 | 21 | ὡ | 8033 | 6 |
| ἂ | 7938 | 8 | ἒ | 7954 | 0 | ἢ | 7970 | 3 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 2 | ἓ | 7955 | 0 | ἣ | 7971 | 2 | ἳ | 7987 | 1 | ὃ | 8003 | 0 | ὓ | 8019 | 1 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 11 | ἔ | 7956 | 26 | ἤ | 7972 | 2 | ἴ | 7988 | 10 | ὄ | 8004 | 5 | ὔ | 8020 | 1 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 5 | ἕ | 7957 | 0 | ἥ | 7973 | 3 | ἵ | 7989 | 6 | ὅ | 8005 | 19 | ὕ | 8021 | 9 | ὥ | 8037 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 4 | ἶ | 7990 | 5 | | | 0 | ὖ | 8022 | 2 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 2 | | | 0 | ὗ | 8023 | 5 | ὧ | 8039 | 3 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 1 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 2 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 1 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 1 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 12 | | | 0 | ῃ | 8131 | 9 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 11 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 1 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 1 |
| ᾷ | 8119 | 2 | | | 0 | ῇ | 8135 | 11 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 10 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In martyres Aegyptios**

## Verborum Omnium Conspectus: 871Verba, quae repetita sunt in 3,454,974 occasionibus

**ἃ** [00063] [00070]
**α** [00002]
**ἀὰ** [00074]
**Ἀβραὰμ** [00017]
**ἀγαθὰ** [00070]
**ἀγαθῶν** [00007] [00068]
**ἀγαπητέ** [00014]
**ἀγαπητοὶ** [00066]
**ἀγγέλους** [00052]
**ἀγγέλων** [00048] [00056] [00057] [00057] [00070] [00070]
**ἅγιοι** [00048]
**ἁγίους** [00045] [00071]
**ἁγίῳ** [00072]
**ἁγίων** [00010] [00013] [00017] [00018] [00033] [00041] [00042] [00063]
**ἁγιωτέρα** [00048]
**ἄγριοι** [00021]
**ἀγωνιζόμενοι** [00020]
**ἀγωνιζόμενον** [00067]
**ἀγωνιζομένων** [00053]
**ἀγωνίσματα** [00034]
**ἀδάμαντος** [00010]
**ἀθάνατον** [00020]
**ἄθεα** [00003]
**ἀθέσμων** [00051]
**ἀθλήσαντα** [00017]
**ἀθλητὰς** [00035] [00071]
**ἀθλητήν** [00039]
**ἀθλητοῦ** [00038]
**ἀθλητῶν** [00005]
**ἀθλίως** [00029]
**ἀθύρματα** [00011]
**αἱ** [00003] [00033] [00052]
**αἰγείοις** [00064]
**Αἰγύπτιοι** [00005]

**ΑΙΓΥΠΤΙΟΥΣ** [00001]
**Αἰγύπτου** [00003] [00003] [00003]
**Αἰγύπτῳ** [00003]
**αἵμασι** [00041]
**αἰσθητῶν** [00011]
**αἰτήσεσι** [00039]
**αἰῶνας** [00072]
**αἰώνων** [00072]
**ἀληθείας** [00020]
**ἀλλ** [00009] [00020] [00020] [00029] [00058] [00071]
**ἀλλὰ** [00003] [00007] [00011] [00015] [00017] [00022] [00022] [00024] [00027] [00028] [00028] [00030] [00035] [00041] [00060] [00066]
**ἄλλα** [00012]
**ἄλλης** [00043]
**ἄλλους** [00059]
**ἅλω** [00067]
**ἁμαρτημάτων** [00015]
**Ἀμήν** [00073]
**ἂν** [00004] [00029] [00034] [00059]
**ἀνάγκαις** [00020]
**ἀνάγκῃ** [00044]
**ἀνάγκη** [00031]
**ἀναῤῥήξῃ** [00024]
**ἀνατρέπουσί** [00011]
**ἀνατρέψαιεν** [00022]
**ἀνατρέψειε** [00011]
**ἄνδρας** [00009]
**ἀνδρείας** [00047]
**ἀνδρῶν** [00017] [00060] [00063]
**ἀνέσεως** [00066]
**ἀνέχεσθαι** [00059]
**ἀνήμεροι** [00021]
**ἀνὴρ** [00011]
**ἄνθρωποι** [00066]
**ἀνθρώπων** [00012] [00014] [00052] [00052]
**ἀνορύξαιεν** [00022]
**ἀνορύττειν** [00060]
**ἀνορυττομένου** [00060]
**ἀνοσίας** [00051]
**ἀντὶ** [00071]
**ἀντιστῆσαι** [00013]
**ἀντωνούμενοι** [00004]
**ἄνω** [00048]
**ἄξιος** [00064]
**ἀξιοῦν** [00070]
**ἀοράτων** [00011]
**ἀπαθῆ** [00020]
**ἀπανθρωπίας** [00021]
**ἀπανθρώποις** [00041]
**ἀπανθρώπου** [00041] [00050]
**ἅπαντες** [00066]
**ἅπαξ** [00024]
**ἁπάσης** [00007]
**ἅπασι** [00069]
**ἀπέβαλεν** [00028]
**ἀπειληφέναι** [00054]
**ἄπεισι** [00044]
**ἀπελθεῖν** [00022]
**ἀπῆλθεν** [00041]
**ἀπίστων** [00036]
**ἀποδημίαν** [00071]
**ἀποκειμένων** [00034]
**ἀποκρούεσθαι** [00012]
**ἀποκρούονται** [00011]
**ἀπονοίας** [00047]
**ἀποφαίνοντες** [00007]
**ἀρετῆς** [00052]
**ἀῤῥαγοῦς** [00010]
**ἀσθενοῦσι** [00025]
**ἀσπάσασθαι** [00071]
**ἀσφάλειαν** [00009] [00012]
**ἀσφαλείας** [00024] [00027] [00069]
**ἀσφαλέστερον** [00010]
**ἀτέλειαν** [00050]
**ἄτοπον** [00069]
**ἀΰλου** [00060]
**αὐτὰ** [00017] [00022] [00024] [00070]
**αὐτά** [00024]
**αὐτῇ** [00024]
**αὐτῆς** [00018] [00022] [00022] [00070]
**αὐτὸ** [00028]
**αὐτοὶ** [00060]
**αὐτοῖς** [00009] [00022] [00027] [00034] [00035] [00057]
**αὐτὸν** [00016]
**αὐτοῦ** [00038] [00058]
**αὑτοῦ** [00039]
**αὐτοὺς** [00013] [00021] [00027] [00027] [00030] [00046] [00071]
**αὐτῶν** [00009] [00012] [00018] [00030] [00034] [00041] [00041] [00045] [00045] [00047] [00057] [00058] [00070] [00071] [00071]
**αὑτῶν** [00007] [00007]
**ἀφαρπάσαντες** [00022]
**ἀφόρητον** [00020]
**ἀφορήτων** [00055]
**ἀφορμαὶ** [00008]
**ἁψάμενοι** [00022]

β [00032]
βασάνων [00035]
βασιλικωτάτην [00022]
βίαν [00020]
βίον [00008] [00066] [00068] [00071]
βίῳ [00066]
βιωτικοῖς [00069] [00070]
βλάσφημοι [00003]
βορὰν [00045]
βουλευώμεθα [00071]

γὰρ [00008] [00010] [00017] [00020] [00027] [00028] [00030] [00035] [00041] [00042] [00044] [00046] [00049] [00055] [00057] [00058] [00059] [00067]
γάρ [00021] [00023]
γε [00052]
γεγενημένους [00052]
γεγόνασιν [00066]
γέγονε [00025]
γέγονεν [00037]
γείτονι [00003]
γέμοντα [00066]
γέμοντες [00061]
γέμοντι [00066]
γέμουσαν [00022]
γενεᾶς [00065]
γενναῖος [00011]
γενναίου [00038]
γενναίους [00071]
γένοιτ [00029]
γένοιτο [00072]
γενομένην [00004] [00006]
γενομένης [00059]
γέρας [00008]
γηπόνον [00067]
γῆς [00007] [00064]
γινόμενα [00012]
γλῶσσαι [00003]
γλῶτταν [00041]
γραφέντες [00048]

δαίμονος [00035] [00039]
δαιμόνων [00011] [00014]
δαπανῶσι [00013]
δὲ [00003] [00013] [00014] [00025] [00031] [00034] [00035] [00039] [00045] [00050] [00052] [00053] [00054] [00070]
δεδομένους [00071]
δεινῶν [00038] [00055] [00066]
δέρμασιν [00064]
Δεσπότην [00007]
Δεσπότης [00015]
Δεσπότου [00057]
δέωνται [00004]
δὴ [00026] [00035] [00040] [00048]
δῆλόν [00031]
δήμιοι [00021]
δήσαντες [00029]
δι [00043] [00067] [00072]
διὰ [00015] [00018] [00068] [00070]
διαβόλου [00011] [00020] [00037]
διαγαγόντα [00068]
διαλελυμένης [00070]
διαλελυμένον [00066]
διαλύουσιν [00011]
διαπέμπουσι [00004]
διατμηθῆναι [00028]
διατριβὴ [00070]
διδόντα [00031]
διέλοι [00024]
διεμασήσατο [00041]
διέξεισι [00063]
διερευνησάμενοι [00022]
διευθύνωμεν [00071]
διηγήματα [00063]
διηνεκῶς [00046] [00058]
δίκαιον [00009]
δικαστήρια [00051]
δίκην [00031]
διώκωμεν [00066]
διώρυττον [00021]
δοκούντων [00055]
δόξα [00072]
δοξάζοντες [00007]
δρόμον [00035]
δυναμένης [00025]
δύναμις [00018]
δυνατὸν [00012] [00070]
δυνηθεῖεν [00022]
δυνηθῶμεν [00071]
δυνησόμεθα [00015] [00017]
δυνήσονται [00013]
δύο [00058]
δῶρον [00006]

**ἑαυτοῖς** [00006]
**ἑαυτοῦ** [00068]
**ἑαυτοὺς** [00063]
**ἑαυτῶν** [00004] [00071] [00071] [00071]
**ἔγεμε** [00051]
**ἐγένετο** [00040] [00053] [00065]
**ΕΓΚΩΜΙΟΝ** [00001]
**ἐγχωρίων** [00018]
**ἔδαφος** [00022]
**ἔδει** [00057] [00060]
**Εἰ** [00008] [00017] [00034] [00058]
**εἰ** [00041]
**εἴ** [00011] [00022]
**εἰδότες** [00066]
**εἰκότως** [00019]
**εἴκουσαν** [00020]
**εἵλοντο** [00059]
**εἶναι** [00055]
**εἰπεῖν** [00070]
**εἴποιμεν** [00034]
**εἰργάζοντο** [00061]
**εἰργάσαντο** [00027]
**εἰρημένον** [00054]
**εἰς** [00022] [00048] [00058] [00058] [00063] [00071] [00072]
**ΕΙΣ** [00001]
**εἰσελθόντες** [00022]
**εἰσὶ** [00058]
**εἶχε** [00028] [00050]
**εἶχον** [00029] [00052]
**ἐκ** [00052]
**ἐκαρποῦντο** [00017]
**ἑκάστην** [00049]
**ἐκβαίνοντα** [00063]
**ἐκεῖ** [00058]
**ἐκεῖθεν** [00059]
**Ἐκεῖνα** [00044]
**ἐκείναις** [00041]
**ἐκείνης** [00021] [00041] [00062]
**ἐκεῖνοι** [00013]
**ἐκείνων** [00004] [00044] [00058] [00063] [00069]
**ἐκληρώθησαν** [00066]
**ἐκνικῆσαι** [00043]
**ἐκόρεσε** [00042]
**ἐλεεινῶς** [00029]
**ἐληλυθότων** [00018]
**ἐλθόντες** [00022]
**ἐμπιστευθέντα** [00024]
**ἐμπλησθεὶς** [00045]
**ἐμφορηθεὶς** [00041]
**ἐν** [00003] [00003] [00006] [00020] [00020] [00025] [00046] [00058] [00058] [00064] [00064] [00064] [00069]
**Ἐν** [00049]
**ἐναποκείμενον** [00022]
**ἐναποκειμένων** [00027]
**ἐνδότατα** [00022]
**ἐνέστησαν** [00020]
**ἔνθα** [00060]
**ἐννοῆσαι** [00070]
**ἔνοικον** [00030]
**ἐνόμιζον** [00054] [00054] [00056]
**ἐνταῦθα** [00035] [00040]
**ἐντεῦθεν** [00071]
**ἐξ** [00003] [00003] [00052] [00066]
**ἔξαινον** [00029]
**ἐξεκάλυπτον** [00021]
**ἐξέπεμψαν** [00007]
**ἐξετείνετο** [00035]
**ἐξουσίας** [00029]
**ἔξω** [00004]
**ἐπαγωνιζόμενος** [00043]
**ἐπάθλων** [00034]
**ἔπαθον** [00022]
**Ἐπειδὴ** [00041]
**ἐπεσπάσατο** [00028]
**ἐπηγγελμένων** [00068]
**Ἐπῄει** [00043]
**ἐπὶ** [00004] [00005] [00017] [00017] [00037] [00045] [00057] [00065]
**ἐπιβουλὰς** [00011] [00014]
**ἐπιδεικνύμενοι** [00004] [00007]
**ἐπιδειχθῆναι** [00036]
**ἐπικήρων** [00009]
**ἐπίμοχθον** [00066]
**ἐπιμόχθῳ** [00066]
**ἐπινενόηται** [00012]
**ἐπίπονον** [00066]
**ἐπιτάγματα** [00049]
**ἐπιταγμάτων** [00051]
**ἐπιτελεῖν** [00025]
**ἐπιτεύξεσθαι** [00070]
**ἐπιτυχεῖν** [00067]
**ἐπιφανέστερον** [00039]
**ἐπιχειρήσεως** [00031]
**ἐποίησαν** [00027]
**ἐπολέμουν** [00030]
**ἑπταπλασίων** [00054]

ἐργάζεσθαι [00046]
ἐρημίαι [00052]
ἐρημίαις [00064]
ἔρημος [00048] [00050] [00052]
ἐρήμου [00057]
ἔρχεται [00044]
ἔσται [00054]
ἔστησαν [00035]
ἐστι [00023] [00031]
ἔστι [00055] [00067]
ἐστιν [00058]
ἔστιν [00055] [00059]
ἑτέρα [00059]
ἑτέραις [00012]
ἑτέραν [00045]
ἑτέρωθεν [00018]
ἔτι [00028]
ἐτολμᾶτο [00049]
ἔτυχεν [00020]
ἔτυχόν [00017]
εὐετηρίας [00004]
εὐθυμότερον [00055]
εὐκολίας [00004]
εὐκόλως [00011]
Εὐλογητὸς [00003]
εὐνομωτέρους [00052]
εὔπορος [00053]
εὐπορωτέρους [00027]
εὑρεθέντος [00060]
εὗρον [00022]
εὐσεβείας [00005] [00038]
εὐτελεῖς [00008]
εὐτελοῦς [00069]
εὐτόνως [00020]
εὐχαῖς [00071]
ἐφάπτεται [00044]
ἐχαρίζετο [00039]
ἔχειν [00017]
ἐχθροῖς [00012]
ἐχθρῶν [00011]
ἔχοντα [00066]
ἔχουσα [00070]
ἐχούσαις [00013]
ἔχουσαν [00022]
Ἑώρων [00063]

ζωὴ [00070]
ζωῆς [00062]

ἡ [00018] [00028] [00042] [00048] [00050] [00052] [00053] [00070]
ἢ [00058] [00059] [00070]
ἣ [00042]
Ἡ [00054]
ᾗ [00070]
ἠγωνίσαντο [00020]
ἤδη [00020] [00054]
Ἤδη [00056]
ἡδονῆς [00069]
ᾔει [00045]
ἥλιος [00054] [00054]
ᾕμαξεν [00041]
ἡμᾶς [00072]
ἡμεῖς [00017] [00066]
ἡμέραν [00049]
ἥμερον [00017]
ἡμετέρας [00065]
ἡμετέρων [00017]
ἡμιλλᾶτο [00052]
ἡμῖν [00008] [00010] [00014] [00015] [00055] [00071]
ἡμῶν [00018] [00072]
ἣν [00028]
ἦν [00048] [00053] [00058] [00064]
ᾔτει [00038]
ἡττᾶσθαι [00031]
ἡττηθεὶς [00041]
ἡττῶντο [00029]

θανάτους [00059]
θανάτῳ [00045]
θαυμαστὰ [00034]
θαυμαστότερον [00026] [00029]
θεομάχου [00003]
Θεὸν [00017] [00018]
Θεόν [00030]
Θεὸς [00003]
Θεοῦ [00006] [00006] [00025] [00035] [00038]
Θεῷ [00031] [00066]
θῆρες [00021]
θηρία [00043]
θηρίοις [00048]
θηρίου [00041]

θησαυρὸν [00022]
θησαυρόν [00024]
θησαυροὺς [00007] [00022]
θησαυρῶν [00027] [00061]
θλιβόμενοι [00064]
θλίψεις [00066]
θνητοῖς [00020]
θοίνην [00044]
θοίνης [00041]
θύρας [00022]

Ἰακὼβ [00017]
ἰδεῖν [00071]
ἴδη [00044]
Ἰδόντες [00006]
ἴδωσιν [00004]
Ἱερουσαλὴμ [00048]
Ἰησοῦ [00057] [00072]
ἱκανοὺς [00022]
ἱκανῶς [00041]
ἵλεων [00016] [00017]
ἵνα [00071]
Ἰσαὰκ [00017]
ἴσασι [00018]
ἴστε [00059]
Ἴστε [00059]
ἵστησι [00021]
ἴσχυσαν [00008] [00029]
Ἰὼβ [00037]

καθ [00049]
Καθάπερ [00021]
καθάπερ [00004] [00011] [00037]
καθέλοιεν [00022]
καθελόντες [00022]
κακουργίας [00014]
κακουχούμενοι [00064]
κακῶς [00071]
κἂν [00013] [00015] [00024] [00044]
καρδίαν [00024]
καρτερίαν [00071]
καρτερίας [00034] [00041]
καρτερικοὺς [00071]
καρτερῶς [00020]
κατ [00038] [00045]
καταβάλοι [00011]
καταδικαζόμενοι [00059]
καταδίκων [00060]
κατακοπῆναι [00028]
καταξιουμένης [00055]
καταταχθῆναι [00071]
καταφεύγοντες [00017]
κατεῖχον [00029]
κατέκλεισαν [00006]
κατέλυσαν [00035]
κατέξαινον [00021]
κατέχη [00024]
κατωρθωκότες [00017]
κεκτημένους [00009]
κινδύνους [00069]
κληρωθείσαις [00009]
κοινὸν [00007]
κοινὸς [00015]
κολαζομένων [00058]
κόμπος [00018]
κορεσθέντα [00044]
κόρον [00041]
κόσμος [00064]
κοσμοῦντες [00007]
κούφη [00053]
κτῆμα [00014]
κτήματα [00023]
κυβερνήτην [00067]
κυκλώσαντες [00021]
Κυρίου [00072]
κωλύοντος [00035]

λαβὼν [00024] [00041] [00047]
λαμπροτέρους [00027] [00036]
λεγόμενα [00018]
λεγομένοις [00018]
λέγων [00063]
λειτουργίας [00050]
λιθίνοις [00020]
λιμένος [00067]
λοιπὸν [00048] [00048]

μαθόντες [00018]
μακροτάτῳ [00045]

**μάλα** [00019]
**μάλιστα** [00009]
**μᾶλλον** [00017] [00057] [00058]
**μανέντες** [00027]
**μανίᾳ** [00043]
**μανίαν** [00036] [00042]
**μανικωτάτης** [00003]
**ΜΑΡΤΥΡΑΣ** [00001]
**μάρτυρες** [00003] [00003]
**μαρτυροῦσι** [00018]
**μέγα** [00006]
**μεγάλα** [00017]
**μεγάλην** [00017]
**μεγάλων** [00063]
**μεθ** [00072]
**μεθεστάναι** [00056]
**μεθοδείαν** [00011]
**μείζοσι** [00012]
**μείζω** [00028]
**μὲν** [00012] [00035] [00038] [00049] [00051] [00053] [00069]
**μενούσης** [00069]
**μέσῳ** [00058] [00058]
**μετ** [00004] [00056] [00057] [00070]
**μέταλλα** [00061]
**μετάλλοις** [00046] [00060]
**μετάλλου** [00060]
**μεταστάντες** [00020]
**μετέλαβε** [00028]
**μέχρι** [00035]
**μηδὲ** [00070]
**μηλωταῖς** [00064]
**μητρόπολιν** [00007]
**μηχάνημα** [00013]
**μηχανήματα** [00012]
**μηχανὴν** [00045]
**μηχανῶν** [00012]
**μικρᾶς** [00069]
**μικρὸν** [00024]
**μνήμης** [00017]
**μόνη** [00028]
**μόνης** [00031]
**μόνον** [00003] [00008] [00011] [00014] [00017] [00027] [00028]
**μοχλοὺς** [00022]
**μυ** [00066]
**μυρία** [00013] [00044]
**μυρίους** [00059]
**μυρίων** [00061]

**νῖκαι** [00033]
**νίκης** [00029]
**νικῆσαι** [00029]
**νῦν** [00066]
**νώτων** [00022]

**ὁ** [00003] [00015] [00038] [00039] [00054] [00054] [00063] [00064]
**ὀδυνηραῖς** [00020]
**ὀδυνηρότερον** [00062]
**ὀδύνης** [00059]
**ὅθεν** [00003] [00003]
**οἱ** [00004] [00005] [00017] [00021] [00048] [00048] [00059] [00061] [00066]
**οἳ** [00018]
**οἰκείοις** [00042]
**οἰκονομούσης** [00025]
**οἰκουμένης** [00003] [00007]
**οἰκοῦντες** [00004]
**οἰκούντων** [00004] [00012] [00052]
**οἷον** [00012] [00022]
**ὁμοῦ** [00004]
**ὄνομα** [00058] [00058]
**ὀνόματα** [00017] [00017]
**ὀνόματος** [00058]
**ὀνομάτων** [00017]
**ὄντες** [00060]
**ὄντος** [00057]
**ὀπαῖς** [00064]
**ὅπλα** [00012]
**ὅπου** [00058]
**Ὅρα** [00042]
**ὁρᾷν** [00054]
**ὀργίζηται** [00015]
**ὄρεσι** [00064]
**ὁρωμένων** [00011]
**ὁρῶντες** [00071]
**ὅσα** [00012]
**ὅση** [00018]
**ὀστᾶ** [00021]
**ὅταν** [00004] [00013] [00017] [00024] [00070]
**ὅτι** [00003] [00018] [00029] [00031] [00054] [00059] [00059] [00066]
**Οὐ** [00014] [00020] [00030] [00035] [00055]
**οὐ** [00006] [00009] [00013] [00018] [00024] [00024] [00027] [00028] [00035] [00060]
**οὗ** [00066] [00072] [00072]
**οὐδὲ** [00003] [00014] [00035] [00067] [00067] [00067] [00068]

οὐδὲν [00009] [00021] [00027]
οὐδενὸς [00044]
Οὐκ [00028]
οὐκ [00003] [00020] [00020] [00028] [00029] [00055] [00059] [00064] [00067] [00069] [00070]
οὖν [00066] [00069]
οὐρανίους [00071]
οὐρανὸν [00052] [00056]
οὐρανὸς [00070]
οὐρανοῦ [00057]
οὐρανῶν [00048]
οὗς [00029]
οὗτος [00045]
οὕτω [00005] [00020] [00034] [00040] [00047] [00071]
οὕτως [00011] [00068]
οὐχ [00022] [00058]
οὐχὶ [00011]

παθεῖν [00055]
πάθεσιν [00024] [00042]
παίδων [00011]
πάλαι [00066]
παλαίσματα [00034]
πάλιν [00004] [00043]
πάντα [00022] [00025] [00043]
πάντας [00072]
πανταχόθεν [00011] [00021] [00041]
πανταχοῦ [00003] [00007]
παντί [00031]
παντὸς [00010] [00041]
πάντων [00007] [00052]
παρ [00004] [00004] [00006] [00009] [00012] [00018]
παρὰ [00007] [00012] [00024] [00038] [00054]
παράδοξα [00025] [00034]
παραδούς [00045]
παρακαλῶ [00071]
παραμυθίας [00017]
παράνομα [00049]
παρασχεῖν [00008]
παρεγύμνουν [00021]
Παρεδόθησαν [00060]
παροίκῳ [00003]
παρόντα [00008]
παῤῥησίαν [00018]
πᾶσα [00031]
πᾶσαν [00011]
πάσης [00048]
πᾶσι [00007]
πᾶσιν [00036]
πασῶν [00009]
Πατρὶ [00072]
Παῦλος [00063]
πεῖραν [00047]
πείρας [00018]
πεπληρωμένης [00067]
πεποιήκασιν [00005]
περαιτέρω [00035]
πέρας [00070]
περὶ [00034] [00063] [00063] [00071]
περιέσεσθαι [00038] [00047]
Περιῆλθον [00064]
περιουσίᾳ [00004]
περιουσίας [00031]
πικραῖς [00020]
πικρότερον [00062]
πίστεως [00022] [00024]
πιστὸν [00068]
πιστῶν [00060]
πλακῆναι [00036]
πλανώμενοι [00064]
πλείονα [00028]
πλείονος [00027] [00028]
πλείοσι [00012]
πλείους [00036] [00038]
πλείω [00004]
πλέκει [00045]
πλευρὰς [00021]
πλήθη [00012]
πλῆθος [00015]
πλοῦτον [00022]
πλούτου [00022]
Πνεύματι [00072]
ποιῆσαι [00016]
ποιῶν [00039]
πόλει [00006] [00016]
πόλεις [00004] [00004]
πολεμοῦντα [00031]
πόλεσι [00009] [00049]
πόλεσιν [00013]
πόλεων [00008]
πόλεως [00048]
πόλιν [00007] [00010] [00022]
πολιορκοῦντες [00022]
πόλις [00013]
πολῖται [00048]

**πολίτας** [00052]
**πολιτῶν** [00052]
**πολλαῖς** [00008]
**πολλάκις** [00028] [00060]
**Πολλαπλάσιον** [00054]
**πολλὴν** [00006] [00009]
**πολλῆς** [00031]
**πολλοὶ** [00018]
**πολλοῦ** [00022]
**πολλῷ** [00017] [00058]
**πονηραῖς** [00039]
**πονηρίᾳ** [00045]
**πονηροῦ** [00035] [00039]
**πόνους** [00069]
**πόνων** [00069]
**πόση** [00042]
**που** [00031]
**πράξεως** [00051]
**πρὸ** [00069]
**προαιρέσεως** [00045]
**προβαλλόμενοι** [00016] [00017] [00017]
**προβεβλημένοι** [00011]
**προγόνων** [00017]
**προδίδοται** [00024]
**προεδρίας** [00009]
**προήσεται** [00024]
**προθυμίᾳ** [00053] [00060]
**προκείμενος** [00070]
**προκεῖσθαι** [00069]
**πρὸς** [00004] [00004] [00008] [00012] [00014] [00014] [00018] [00020] [00020] [00022] [00030] [00030] [00044] [00052] [00056] [00069] [00071] [00071]
**προσβολὰς** [00011]
**προσδοκᾷν** [00070]
**προσδοκίας** [00069]
**προσδοκοῦντος** [00035]
**προσδοκῶν** [00038]
**προσεδόκησε** [00047]
**προσέταξε** [00046]
**προσηγορίαν** [00017]
**προσηνῆ** [00017]
**προσθήκη** [00035] [00038]
**προφήτη** [00054]
**Πῶς** [00069]
**πῶς** [00009]

**ῥαγδαίαν** [00020]
**ῥᾳδία** [00053]
**ῥᾳθυμίας** [00067] [00068] [00070]
**ῥᾳστώνης** [00070]
**ρίων** [00066]
**ῥοπήν** [00028]

**σάρκας** [00021]
**σαρκῶν** [00045]
**σαφεστέραν** [00036]
**σαφῆ** [00047]
**σαφῶς** [00059]
**σελήνη** [00054]
**σιδηροῖς** [00020]
**σκάμματα** [00035]
**σκηνάς** [00071]
**σκόπελοί** [00011]
**σπηλαίοις** [00064]
**σπλάγχνων** [00022]
**σπουδῆς** [00070]
**στέρνα** [00024]
**στεφάνους** [00036]
**στεφάνων** [00034] [00067]
**στόμα** [00041]
**στόματα** [00003]
**στρατιώτην** [00067]
**στρατιωτῶν** [00012]
**στυγνῷ** [00066]
**συγχωροῦντος** [00035]
**συλῆσαι** [00022]
**συνειλεγμένων** [00058]
**συνεχώρει** [00039]
**συνηγμένοι** [00058]
**σύνοικοι** [00048]
**συντελοῦσαι** [00008]
**συνῴκουν** [00048]
**σῶμα** [00028] [00041]
**σώμασι** [00013] [00025]
**σώμασιν** [00020]
**σώματα** [00010] [00016] [00017] [00021] [00044]
**σώματος** [00020] [00024]
**σωτηρίας** [00071]

**Τὰ** [00010]
**τὰ** [00003] [00012] [00012] [00016] [00017] [00017] [00018] [00021] [00022] [00022] [00022] [00023] [00024] [00034] [00034] [00035] [00043] [00049] [00051] [00063] [00070]
**ταῖς** [00009] [00012] [00013] [00020] [00039] [00041] [00049] [00064] [00071]

**ταλαιπωρίας** [00066]
**ταμιεῖα** [00022]
**τὰς** [00004] [00004] [00011] [00011] [00021] [00021] [00071]
**Ταῦτ** [00066]
**Ταῦτα** [00065]
**ταῦτα** [00015] [00049] [00069]
**ταύτῃ** [00047] [00059]
**ταύτην** [00044] [00045]
**ταύτης** [00009] [00029] [00059]
**ταυτὸν** [00022]
**τάφροι** [00012]
**ταχέως** [00016]
**τε** [00004] [00007] [00011] [00027] [00071]
**τείχη** [00012] [00022]
**τειχίζει** [00010]
**τειχίζηται** [00013]
**τείχους** [00010]
**τελευτὴν** [00009]
**τῇ** [00003] [00004] [00006] [00006] [00016] [00035] [00038] [00043] [00053] [00059]
**τὴν** [00004] [00004] [00006] [00007] [00009] [00010] [00017] [00017] [00018] [00020] [00020] [00020] [00024] [00028] [00036] [00041] [00044] [00045] [00048] [00071] [00071] [00071]
**τήν** [00007]
**τῆς** [00003] [00003] [00004] [00004] [00005] [00007] [00007] [00009] [00017] [00018] [00020] [00021] [00021] [00022] [00023] [00024] [00025] [00025] [00027] [00028] [00029] [00031] [00031] [00034] [00038] [00041] [00041] [00047] [00047] [00047] [00050] [00052] [00057] [00059] [00059] [00059] [00062] [00064] [00065] [00065] [00067] [00069] [00069] [00069] [00070] [00071]
**Τί** [00029] [00057] [00062]
**τί** [00034]
**τι** [00013] [00055]
**τιμαὶ** [00070]
**τιμιώτεροι** [00060]
**τιμωρία** [00053]
**τιμωρίας** [00038] [00059]
**τιμωριῶν** [00035]
**τινες** [00011] [00021] [00022]
**τινος** [00017]
**τις** [00011] [00024]
**τὸ** [00006] [00008] [00014] [00015] [00026] [00028] [00028] [00041] [00041] [00054] [00054] [00054] [00058] [00058]
**τό** [00052]
**Τοιαῦτα** [00023]
**Τοιαῦται** [00033]
**τοιοῦτόν** [00013]
**τοῖς** [00012] [00018] [00024] [00041] [00042] [00046] [00069] [00070]
**τὸν** [00007] [00008] [00017] [00018] [00022] [00022] [00024] [00030] [00031] [00035] [00039] [00052] [00056] [00066] [00066] [00066] [00066] [00066] [00067] [00067] [00067] [00067] [00068] [00068] [00071]
**τοσαῦτα** [00027]
**τοσαύτην** [00042]
**τότε** [00054] [00058]
**τοῦ** [00006] [00006] [00011] [00020] [00020] [00024] [00025] [00035] [00035] [00037] [00037] [00038] [00038] [00039] [00057] [00058] [00067] [00072]
**τοὺς** [00007] [00035] [00036] [00045] [00052] [00052] [00069] [00069] [00071] [00071] [00071] [00072]
**Τοῦτο** [00025]
**τοῦτο** [00006] [00008] [00014] [00054]
**τούτοις** [00036]
**τούτους** [00029] [00071]
**τούτων** [00004] [00009] [00010] [00011] [00017] [00018] [00029] [00035] [00071]
**τρεῖς** [00058]
**τροπαίων** [00067]
**τρυφῆς** [00067]
**τυραννικὰ** [00049]
**τυχεῖν** [00009] [00068] [00072]
**τῷ** [00054] [00066] [00066] [00072] [00072]
**τῶν** [00004] [00004] [00005] [00007] [00008] [00009] [00010] [00011] [00011] [00012] [00012] [00015] [00017] [00017] [00017] [00018] [00018] [00018] [00022] [00027] [00033] [00034] [00034] [00035] [00035] [00036] [00038] [00041] [00042] [00045] [00048] [00048] [00052] [00053] [00055] [00057] [00063] [00063] [00067] [00067] [00068] [00069] [00072]

**ὑγρὸν** [00066]
**ὑπὲρ** [00020] [00034] [00055] [00058]
**ὑπερβολαῖς** [00012]
**ὕπνου** [00067]
**ὑπὸ** [00029] [00041]
**ὑπομεῖναι** [00059]
**ὑπομονὴ** [00042]
**ὑπομονὴν** [00071]
**ὑπομονῆς** [00047]
**ὑποσκελίζειν** [00035]
**ὑποχειρίους** [00029]
**ὑστερούμενοι** [00064]
**ὑφείλοντο** [00027]
**ὑψηλοὶ** [00011]

**φθαρτοῖς** [00020]
**φθαρτῶν** [00009]
**φιλαδελφίαν** [00007]
**φιλανθρωπίᾳ** [00072]
**φιλανθρώπου** [00035]
**φίλοι** [00066]
**φιλονεικῶν** [00043]
**φιλοφροσύνην** [00004]
**φορὰν** [00004] [00006]
**φυλάττεσθαι** [00027]
**φύσει** [00053]
**φύσεως** [00044]
**φύσιν** [00020]

φῶς [00054] [00054]
φωστήρων [00071]

χαλεπωτάτη [00053]
χαλεπωτάτῳ [00045]
χαλεπωτέρα [00059]
χαλεπώτερον [00041]
χαλκὸν [00060]
χαριζομένην [00009]
χάριτες [00008]
χάριτι [00006] [00072]
χάριτος [00025] [00028]
χερσὶν [00060]
χορεύειν [00056]
χρείας [00004]
χρήματα [00013]
χρημάτων [00022]
χρήσιμον [00014]
Χριστοῦ [00055] [00072]
χρυσίου [00060] [00060]
χώρᾳ [00003]

ψήφοις [00041]
ψήφῳ [00059]
ψυχὴ [00028]
ψυχῆς [00023] [00055] [00070]
ψυχραὶ [00008]

Ὢ [00047]
ὠμαῖς [00041]
ὠμοὶ [00021]
ὠμότητος [00021] [00043]
ὢν [00004] [00064] [00072]
ὠνίων [00004]
ώς [00011] [00020] [00020] [00020] [00054] [00058]
Ὥσπερ [00067]
ὥστε [00036]
ὠφέλειαν [00017]